29/12/2024

Το Ευαγγελικό Ανάγωσμα της Κυριακής μετά την Χριστού Γέννησιν

/ Ορθόδοξες Προβολές



Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής μετά την Χριστού Γέννησιν: Ματθ. β΄, 13-23 (29-12-2024).

Πρωτότυπο Κείμενο

Ἀναχωρησάντων τῶν μάγων, ἰδοὺ ἄγγελος Κυρίου φαίνεται κατ᾽ ὄναρ τῷ Ἰωσὴφ λέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴγυπτον, καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρῴδης ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι αὐτό. Ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον, καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρῴδου, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος· ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. Τότε Ἡρῴδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων. Τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἱερεμίου τοῦ προφήτου λέγοντος· φωνὴ ἐν Ραμᾷ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς· Ραχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσίν. Τελευτήσαντος δὲ τοῦ Ἡρῴδου ἰδοὺ ἄγγελος Κυρίου κατ᾽ ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ λέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τεθνήκασι

γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. Ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ ἦλθεν εἰς γῆν Ἰσραήλ. Ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς Ἰουδαίας ἀντὶ Ἡρῴδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν· χρηματισθεὶς δὲ κατ᾽ ὄναρ ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας, καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν ὅτι Ναζωραῖος κληθήσεται.

Νεοελληνική Απόδοση

Όταν αναχώρησαν οι μάγοι, ένας άγγελος του Θεού παρουσιάστηκε στον Ιωσήφ στο όνειρό του και του είπε: «Σήκω αμέσως, πάρε το παιδί και τη μητέρα του και φύγε στην Αίγυπτο και μείνε εκεί ωσότου σου πω. Γιατί ο Ηρώδης όπου να’ ναι θα ψάξει να βρει το παιδί, για να το σκοτώσει». Ο Ιωσήφ σηκώθηκε αμέσως, πήρε το παιδί και τη μητέρα του και μέσα στη νύχτα έφυγε στην Αίγυπτο• εκεί έμεινε ώσπου πέθανε ο Ηρώδης. Έτσι εκπληρώθηκε ο λόγος του Κυρίου που είχε πει ο προφήτης: «Από την Αίγυπτο κάλεσα τον γιο μου». Όταν κατάλαβε ο Ηρώδης πως οι μάγοι τον εξαπάτησαν, οργίστηκε πάρα πολύ. Έστειλε τότε στρατιώτες και σκότωσαν στη Βηθλεέμ και στην περιοχή της όλα τα παιδιά από δύο χρονών και κάτω, σύμφωνα με τον χρόνο που εξακρίβωσε από τους μάγους. Έτσι εκπληρώθηκε ο λόγος του Κυρίου, που είχε πει ο προφήτης Ιερεμίας: «Ακούστηκε στη Ραμά κραυγή, θρήνος, κλάματα και στεναγμός βαρύς• για τα παιδιά της κλαίει η Ραχήλ και πουθενά δεν βρίσκει παρηγοριά, γιατί δεν υπάρχουν πια στη ζωή». Όταν, λοιπόν, πέθανε ο Ηρώδης, ένας άγγελος σταλμένος από τον Κύριο εμφανίστηκε στον Ιωσήφ σε όνειρο στην Αίγυπτο, και του είπε: «Σήκω πάρε το παιδί και τη μητέρα του και πήγαινε στη χώρα του Ισραήλ, γιατί πέθαναν όσοι ήθελαν να θανατώσουν το παιδί». Τότε ο Ιωσήφ σηκώθηκε, πήρε το παιδί και τη μητέρα του και γύρισε πάλι στη χώρα του Ισραήλ. Όταν έμαθε πως βασιλιάς της Ιουδαίας είναι ο Αρχέλαος, στη θέση του πατέρα του, του Ηρώδη, φοβήθηκε να εγκατασταθεί εκεί. Με θεϊκή εντολή όμως, που του δόθηκε στο όνειρό του, αναχώρησε για την περιοχή της Γαλιλαίας. Ήρθε λοιπόν, κι εγκαταστάθηκε στην πόλη Ναζαρέτ. Έτσι εκπληρώθηκε για τον Χριστό η προφητεία που έλεγε ότι θα ονομαστεί Ναζωραίος.